24 Ιωσηφ. [24]καὶ εἶπεν Ιωσηφ τοῖς ἀδελφοῖς αὐτοῦ λέγων Ἐγὼ ἀπο-
θνῄσκω· ἐπισκοπῇ δὲ ἐπισκέψεται ὑμᾶς ὁ θεὸς καὶ ἀνάξει ὑμᾶς
ἐκ τῆς γῆς ταύτης εἰς τὴν γῆν, ἣν ὤμοσεν ὁ θεὸς τοῖς πατράσιν
25 ἡμῶν Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ. [25]καὶ ὥρκισεν Ιωσηφ τοὺς
υἱοὺς Ισραηλ λέγων Ἐν τῇ ἐπισκοπῇ, ᾗ ἐπισκέψεται ὑμᾶς ὁ θεός,
26 καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν μεθ' ὑμῶν. [26]καὶ ἐτελεύ-
τησεν Ιωσηφ ἐτῶν ἑκατὸν δέκα· καὶ ἔθαψαν αὐτὸν καὶ ἔθηκαν
ἐν τῇ σορῷ ἐν Αἰγύπτῳ.

24 λεγων > A | υμας / ο θ.] tr. A: item in 25 | τοις πατρ. ημων > A ||
26 εθηκαν] + αυτον A
Subscr. γενεσις κατα τους εβδομηκοντα B†, γενεσις κοσμου A†

# ΕΞΟΔΟΣ

1 [1]Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ισραηλ τῶν εἰσπεπορευμένων εἰς
Αἴγυπτον ἅμα Ιακωβ τῷ πατρὶ αὐτῶν — ἕκαστος πανοικίᾳ αὐτῶν
2 3 εἰσήλθοσαν —· [2]Ρουβην, Συμεων, Λευι, Ιουδας, [3]Ισσαχαρ, Ζαβου-
4 5 λων καὶ Βενιαμιν, [4]Δαν καὶ Νεφθαλι, Γαδ καὶ Ασηρ. [5]Ιωσηφ δὲ
ἦν ἐν Αἰγύπτῳ. ἦσαν δὲ πᾶσαι ψυχαὶ ἐξ Ιακωβ πέντε καὶ ἑβδομή-
6 κοντα. [6]ἐτελεύτησεν δὲ Ιωσηφ καὶ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ
7 πᾶσα ἡ γενεὰ ἐκείνη. [7]οἱ δὲ υἱοὶ Ισραηλ ηὐξήθησαν καὶ ἐπληθύν-
θησαν καὶ χυδαῖοι ἐγένοντο καὶ κατίσχυον σφόδρα σφόδρα, ἐπλή-
θυνεν δὲ ἡ γῆ αὐτούς.
8 [8]Ἀνέστη δὲ βασιλεὺς ἕτερος ἐπ' Αἴγυπτον, ὃς οὐκ ᾔδει τὸν Ιω-
9 σηφ. [9]εἶπεν δὲ τῷ ἔθνει αὐτοῦ Ἰδοὺ τὸ γένος τῶν υἱῶν Ισραηλ
10 μέγα πλῆθος καὶ ἰσχύει ὑπὲρ ἡμᾶς· [10]δεῦτε οὖν κατασοφισώμεθα
αὐτούς, μήποτε πληθυνθῇ καί, ἡνίκα ἂν συμβῇ ἡμῖν πόλεμος, προσ-
τεθήσονται καὶ οὗτοι πρὸς τοὺς ὑπεναντίους καὶ ἐκπολεμήσαν-
11 τες ἡμᾶς ἐξελεύσονται ἐκ τῆς γῆς. [11]καὶ ἐπέστησεν αὐτοῖς ἐπιστά-
τας τῶν ἔργων, ἵνα κακώσωσιν αὐτοὺς ἐν τοῖς ἔργοις· καὶ ᾠκοδό-
μησαν πόλεις ὀχυρὰς τῷ Φαραω, τήν τε Πιθωμ καὶ Ραμεσση καὶ
12 Ων, ἥ ἐστιν Ἡλίου πόλις. [12]καθότι δὲ αὐτοὺς ἐταπείνουν, τοσού-
τῳ πλείους ἐγίνοντο καὶ ἴσχυον σφόδρα σφόδρα· καὶ ἐβδελύσσοντο

Exod.: B A.
Inscr.] + αιγυπτου A†
1 1 πανοικι B || 2 ιουδα A || 7 κατισχυσαν A || 9 αυτου > A | γε-
νος] εθνος A || 10 ουν > A: cf. 3 16 4 1 || 11 πιθωμ] πειθω B || 12 σφο-
δρα 2° > A*



οἱ Αἰγύπτιοι ἀπὸ τῶν υἱῶν Ισραηλ. [13]καὶ κατεδυνάστευον οἱ 13
Αἰγύπτιοι τοὺς υἱοὺς Ισραηλ βίᾳ [14]καὶ κατωδύνων αὐτῶν τὴν 14
ζωὴν ἐν τοῖς ἔργοις τοῖς σκληροῖς, τῷ πηλῷ καὶ τῇ πλινθείᾳ καὶ
πᾶσι τοῖς ἔργοις τοῖς ἐν τοῖς πεδίοις, κατὰ πάντα τὰ ἔργα, ὧν
κατεδουλοῦντο αὐτοὺς μετὰ βίας.
[15]Καὶ εἶπεν ὁ βασιλεὺς τῶν Αἰγυπτίων ταῖς μαίαις τῶν Εβραί- 15
ων, τῇ μιᾷ αὐτῶν, ᾗ ὄνομα Σεπφωρα, καὶ τὸ ὄνομα τῆς δευτέρας
Φουα, [16]καὶ εἶπεν Ὅταν μαιοῦσθε τὰς Εβραίας καὶ ὦσιν πρὸς τῷ 16
τίκτειν, ἐὰν μὲν ἄρσεν ᾖ, ἀποκτείνατε αὐτό, ἐὰν δὲ θῆλυ, περιποι-
εῖσθε αὐτό. [17]ἐφοβήθησαν δὲ αἱ μαῖαι τὸν θεὸν καὶ οὐκ ἐποίησαν 17
καθότι συνέταξεν αὐταῖς ὁ βασιλεὺς Αἰγύπτου, καὶ ἐζωογόνουν τὰ
ἄρσενα. [18]ἐκάλεσεν δὲ ὁ βασιλεὺς Αἰγύπτου τὰς μαίας καὶ εἶπεν 18
αὐταῖς Τί ὅτι ἐποιήσατε τὸ πρᾶγμα τοῦτο καὶ ἐζωογονεῖτε τὰ ἄρ-
σενα; [19]εἶπαν δὲ αἱ μαῖαι τῷ Φαραω Οὐχ ὡς γυναῖκες Αἰγύπτου 19
αἱ Εβραῖαι, τίκτουσιν γὰρ πρὶν ἢ εἰσελθεῖν πρὸς αὐτὰς τὰς μαί-
ας· καὶ ἔτικτον. [20]εὖ δὲ ἐποίει ὁ θεὸς ταῖς μαίαις, καὶ ἐπλήθυνεν 20
ὁ λαὸς καὶ ἴσχυεν σφόδρα. [21]ἐπειδὴ ἐφοβοῦντο αἱ μαῖαι τὸν θεόν, 21
ἐποίησαν ἑαυταῖς οἰκίας. — [22]συνέταξεν δὲ Φαραω παντὶ τῷ λαῷ 22
αὐτοῦ λέγων Πᾶν ἄρσεν, ὃ ἐὰν τεχθῇ τοῖς Εβραίοις, εἰς τὸν πο-
ταμὸν ῥίψατε· καὶ πᾶν θῆλυ, ζωογονεῖτε αὐτό.
[1]Ἦν δέ τις ἐκ τῆς φυλῆς Λευι, ὃς ἔλαβεν τῶν θυγατέρων 2
Λευι καὶ ἔσχεν αὐτήν. [2]καὶ ἐν γαστρὶ ἔλαβεν καὶ ἔτεκεν ἄρσεν· 2
ἰδόντες δὲ αὐτὸ ἀστεῖον ἐσκέπασαν αὐτὸ μῆνας τρεῖς. [3]ἐπεὶ δὲ οὐκ 3
ἠδύναντο αὐτὸ ἔτι κρύπτειν, ἔλαβεν αὐτῷ ἡ μήτηρ αὐτοῦ θῖβιν
καὶ κατέχρισεν αὐτὴν ἀσφαλτοπίσσῃ καὶ ἐνέβαλεν τὸ παιδίον εἰς
αὐτὴν καὶ ἔθηκεν αὐτὴν εἰς τὸ ἕλος παρὰ τὸν ποταμόν. [4]καὶ 4
κατεσκόπευεν ἡ ἀδελφὴ αὐτοῦ μακρόθεν μαθεῖν, τί τὸ ἀποβησό-
μενον αὐτῷ. [5]κατέβη δὲ ἡ θυγάτηρ Φαραω λούσασθαι ἐπὶ τὸν 5
ποταμόν, καὶ αἱ ἅβραι αὐτῆς παρεπορεύοντο παρὰ τὸν ποταμόν·
καὶ ἰδοῦσα τὴν θῖβιν ἐν τῷ ἕλει ἀποστείλασα τὴν ἅβραν ἀνείλατο
αὐτήν. [6]ἀνοίξασα δὲ ὁρᾷ παιδίον κλαῖον ἐν τῇ θίβει, καὶ ἐφείσατο 6
αὐτοῦ ἡ θυγάτηρ Φαραω καὶ ἔφη Ἀπὸ τῶν παιδίων τῶν Εβραίων
τοῦτο. [7]καὶ εἶπεν ἡ ἀδελφὴ αὐτοῦ τῇ θυγατρὶ Φαραω Θέλεις κα- 7
λέσω σοι γυναῖκα τροφεύουσαν ἐκ τῶν Εβραίων καὶ θηλάσει σοι
τὸ παιδίον; [8]ἡ δὲ εἶπεν αὐτῇ ἡ θυγάτηρ Φαραω Πορεύου. ἐλθοῦ- 8
σα δὲ ἡ νεᾶνις ἐκάλεσεν τὴν μητέρα τοῦ παιδίου. [9]εἶπεν δὲ πρὸς 9
αὐτὴν ἡ θυγάτηρ Φαραω Διατήρησόν μοι τὸ παιδίον τοῦτο καὶ
θήλασόν μοι αὐτό, ἐγὼ δὲ δώσω σοι τὸν μισθόν. ἔλαβεν δὲ ἡ

21 επειδη] επει δε Bc
2 1 και εσχεν αυτην > B† || 3 επει] + δη A | αυτο / ετι κρυπτειν] tr. A |
αυτω η μητηρ αυτου] η μητ. αυτω A || 4 τι > A || 5 παρα] επι A ||
8 αυτη > B†

10 γυνὴ τὸ παιδίον καὶ ἐθήλαζεν αὐτό. [10]ἁδρυνθέντος δὲ τοῦ παιδίου
εἰσήγαγεν αὐτὸ πρὸς τὴν θυγατέρα Φαραω, καὶ ἐγενήθη αὐτῇ εἰς
υἱόν· ἐπωνόμασεν δὲ τὸ ὄνομα αὐτοῦ Μωυσῆν λέγουσα Ἐκ τοῦ
ὕδατος αὐτὸν ἀνειλόμην.
11 [11]Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταῖς πολλαῖς ἐκείναις μέγας γενό-
μενος Μωυσῆς ἐξῆλθεν πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς
Ισραηλ. κατανοήσας δὲ τὸν πόνον αὐτῶν ὁρᾷ ἄνθρωπον Αἰγύ-
πτιον τύπτοντά τινα Εβραῖον τῶν ἑαυτοῦ ἀδελφῶν τῶν υἱῶν Ισ-
12 ραηλ· [12]περιβλεψάμενος δὲ ὧδε καὶ ὧδε οὐχ ὁρᾷ οὐδένα καὶ πατά-
13 ξας τὸν Αἰγύπτιον ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ. [13]ἐξελθὼν δὲ τῇ
ἡμέρᾳ τῇ δευτέρᾳ ὁρᾷ δύο ἄνδρας Εβραίους διαπληκτιζομένους
14 καὶ λέγει τῷ ἀδικοῦντι Διὰ τί σὺ τύπτεις τὸν πλησίον; [14]ὁ δὲ
εἶπεν Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ᾽ ἡμῶν; μὴ ἀνε-
λεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες ἐχθὲς τὸν Αἰγύπτιον; ἐφο-
βήθη δὲ Μωυσῆς καὶ εἶπεν Εἰ οὕτως ἐμφανὲς γέγονεν τὸ ῥῆμα
15 τοῦτο; [15]ἤκουσεν δὲ Φαραω τὸ ῥῆμα τοῦτο καὶ ἐζήτει ἀνελεῖν
Μωυσῆν· ἀνεχώρησεν δὲ Μωυσῆς ἀπὸ προσώπου Φαραω καὶ ᾤκη-
σεν ἐν γῇ Μαδιαμ· ἐλθὼν δὲ εἰς γῆν Μαδιαμ ἐκάθισεν ἐπὶ τοῦ
16 φρέατος. [16]τῷ δὲ ἱερεῖ Μαδιαμ ἦσαν ἑπτὰ θυγατέρες ποιμαίνου-
σαι τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν Ιοθορ· παραγενόμεναι δὲ ἤν-
τλουν, ἕως ἔπλησαν τὰς δεξαμενὰς ποτίσαι τὰ πρόβατα τοῦ πα-
17 τρὸς αὐτῶν Ιοθορ. [17]παραγενόμενοι δὲ οἱ ποιμένες ἐξέβαλον αὐ-
τάς· ἀναστὰς δὲ Μωυσῆς ἐρρύσατο αὐτὰς καὶ ἤντλησεν αὐταῖς
18 καὶ ἐπότισεν τὰ πρόβατα αὐτῶν. [18]παρεγένοντο δὲ πρὸς Ραγουηλ
τὸν πατέρα αὐτῶν· ὁ δὲ εἶπεν αὐταῖς Τί ὅτι ἐταχύνατε τοῦ παρα-
19 γενέσθαι σήμερον; [19]αἱ δὲ εἶπαν Ἄνθρωπος Αἰγύπτιος ἐρρύσατο
ἡμᾶς ἀπὸ τῶν ποιμένων καὶ ἤντλησεν ἡμῖν καὶ ἐπότισεν τὰ πρό-
20 βατα ἡμῶν. [20]ὁ δὲ εἶπεν ταῖς θυγατράσιν αὐτοῦ Καὶ ποῦ ἐστι;
καὶ ἵνα τί οὕτως καταλελοίπατε τὸν ἄνθρωπον; καλέσατε οὖν αὐ-
21 τόν, ὅπως φάγῃ ἄρτον. [21]κατῳκίσθη δὲ Μωυσῆς παρὰ τῷ ἀνθρώ-
πῳ, καὶ ἐξέδοτο Σεπφωραν τὴν θυγατέρα αὐτοῦ Μωυσῇ γυναῖκα.
22 [22]ἐν γαστρὶ δὲ λαβοῦσα ἡ γυνὴ ἔτεκεν υἱόν, καὶ ἐπωνόμασεν Μωυ-
σῆς τὸ ὄνομα αὐτοῦ Γηρσαμ λέγων ὅτι Πάροικός εἰμι ἐν γῇ
ἀλλοτρίᾳ.
23 [23]Μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασι-
λεὺς Αἰγύπτου. καὶ κατεστέναξαν οἱ υἱοὶ Ισραηλ ἀπὸ τῶν ἔργων

10 μωυση A | αυτον ανειλ.] tr. A || 11 εαυτου αδελφων] αδ. αυτου A || 13 συ > A || 14 μη] η A | εχθες τον αιγ.] τον αιγ. χθες A || 15 ωκησεν] pr. κατ A || 16 του πατρ. αυτων / ιοθορ 1⁰] tr. A | ιοθορ 2⁰ > A* || 17 εξεβαλλον B | και ηντλ. αυταις > A || 18 ραγουηλ] ιοθορ A | τι οτι] δια τι B || 19 ημων > A || 20 και 1⁰ > A | ουτως > B* || 21 μωυση B] -σει A: ambo mss. inter -σῃ et -σει fluctuant, ego ubique B sequor || 22 μωυσης > A | οτι > A



καὶ ἀνεβόησαν, καὶ ἀνέβη ἡ βοὴ αὐτῶν πρὸς τὸν θεὸν ἀπὸ τῶν
ἔργων. [24]καὶ εἰσήκουσεν ὁ θεὸς τὸν στεναγμὸν αὐτῶν, καὶ ἐμνή- 24
σθη ὁ θεὸς τῆς διαθήκης αὐτοῦ τῆς πρὸς Αβρααμ καὶ Ισαακ καὶ
Ιακωβ. [25]καὶ ἐπεῖδεν ὁ θεὸς τοὺς υἱοὺς Ισραηλ καὶ ἐγνώσθη αὐτοῖς. 25
[1]Καὶ Μωυσῆς ἦν ποιμαίνων τὰ πρόβατα Ιοθορ τοῦ γαμβροῦ 3
αὐτοῦ τοῦ ἱερέως Μαδιαμ καὶ ἤγαγεν τὰ πρόβατα ὑπὸ τὴν ἔρημον
καὶ ἦλθεν εἰς τὸ ὄρος Χωρηβ. [2]ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου ἐν 2
φλογὶ πυρὸς ἐκ τοῦ βάτου, καὶ ὁρᾷ ὅτι ὁ βάτος καίεται πυρί, ὁ
δὲ βάτος οὐ κατεκαίετο. [3]εἶπεν δὲ Μωυσῆς Παρελθὼν ὄψομαι τὸ 3
ὅραμα τὸ μέγα τοῦτο, τί ὅτι οὐ κατακαίεται ὁ βάτος. [4]ὡς δὲ εἶδεν 4
κύριος ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν κύριος ἐκ τοῦ βάτου
λέγων Μωυσῆ, Μωυσῆ. ὁ δὲ εἶπεν Τί ἐστιν; [5]καὶ εἶπεν Μὴ ἐγγί- 5
σῃς ὧδε· λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐν
ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστίν. [6]καὶ εἶπεν αὐτῷ Ἐγώ εἰμι ὁ θεὸς 6
τοῦ πατρός σου, θεὸς Αβρααμ καὶ θεὸς Ισαακ καὶ θεὸς Ιακωβ.
ἀπέστρεψεν δὲ Μωυσῆς τὸ πρόσωπον αὐτοῦ· εὐλαβεῖτο γὰρ κατ-
εμβλέψαι ἐνώπιον τοῦ θεοῦ. [7]εἶπεν δὲ κύριος πρὸς Μωυσῆν 7
Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ καὶ τῆς
κραυγῆς αὐτῶν ἀκήκοα ἀπὸ τῶν ἐργοδιωκτῶν· οἶδα γὰρ τὴν ὀδύ-
νην αὐτῶν· [8]καὶ κατέβην ἐξελέσθαι αὐτοὺς ἐκ χειρὸς Αἰγυπτίων 8
καὶ ἐξαγαγεῖν αὐτοὺς ἐκ τῆς γῆς ἐκείνης καὶ εἰσαγαγεῖν αὐτοὺς
εἰς γῆν ἀγαθὴν καὶ πολλήν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι, εἰς
τὸν τόπον τῶν Χαναναίων καὶ Χετταίων καὶ Αμορραίων καὶ Φερε-
ζαίων καὶ Γεργεσαίων καὶ Ευαίων καὶ Ιεβουσαίων. [9]καὶ νῦν ἰδοὺ 9
κραυγὴ τῶν υἱῶν Ισραηλ ἥκει πρός με, κἀγὼ ἑώρακα τὸν θλιμ-
μόν, ὃν οἱ Αἰγύπτιοι θλίβουσιν αὐτούς. [10]καὶ νῦν δεῦρο ἀποστεί- 10
λω σε πρὸς Φαραω βασιλέα Αἰγύπτου, καὶ ἐξάξεις τὸν λαόν μου
τοὺς υἱοὺς Ισραηλ ἐκ γῆς Αἰγύπτου. — [11]καὶ εἶπεν Μωυσῆς πρὸς 11
τὸν θεόν Τίς εἰμι, ὅτι πορεύσομαι πρὸς Φαραω βασιλέα Αἰγύπτου,
καὶ ὅτι ἐξάξω τοὺς υἱοὺς Ισραηλ ἐκ γῆς Αἰγύπτου; [12]εἶπεν δὲ ὁ 12
θεὸς Μωυσεῖ λέγων ὅτι Ἔσομαι μετὰ σοῦ, καὶ τοῦτό σοι τὸ ση-
μεῖον ὅτι ἐγώ σε ἐξαποστέλλω· ἐν τῷ ἐξαγαγεῖν σε τὸν λαόν μου
ἐξ Αἰγύπτου καὶ λατρεύσετε τῷ θεῷ ἐν τῷ ὄρει τούτῳ. [13]καὶ εἶ- 13
πεν Μωυσῆς πρὸς τὸν θεόν Ἰδοὺ ἐγὼ ἐλεύσομαι πρὸς τοὺς υἱοὺς
Ισραηλ καὶ ἐρῶ πρὸς αὐτούς Ὁ θεὸς τῶν πατέρων ὑμῶν ἀπέ-

25 εισιδεν A
3 1 ηγαγεν] ηγεν A || 2 αυτω > A | φλογι πυρος] πυρι φλογος B || 3 τι > B || 5 και] ο δε B | συ > A || 6 αυτω] > B, in O sub ÷ | θεος 2⁰] pr. ο A || 8 και εισαγ. αυτους > A | γεργεσαιων .. ευαιων] tr. A || 11 ειμι] + εγω B (in O sub ※) || 12 ο — λεγων > A | εξαποστελλω compl.] -στελω B, εξ > A | εξαγαγ. σε] tr. A | μου > A* || 13 ϝελευσομαι B† | υμων (cf. 15. 16)] ημων B

σταλκέν με πρὸς ὑμᾶς, ἐρωτήσουσίν με Τί ὄνομα αὐτῷ; τί ἐρῶ
14 πρὸς αὐτούς; [14]καὶ εἶπεν ὁ θεὸς πρὸς Μωυσῆν Ἐγώ εἰμι ὁ ὤν·
καὶ εἶπεν Οὕτως ἐρεῖς τοῖς υἱοῖς Ισραηλ Ὁ ὢν ἀπέσταλκέν με
15 πρὸς ὑμᾶς. [15]καὶ εἶπεν ὁ θεὸς πάλιν πρὸς Μωυσῆν Οὕτως ἐρεῖς
τοῖς υἱοῖς Ισραηλ Κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν, θεὸς Αβρααμ
καὶ θεὸς Ισαακ καὶ θεὸς Ιακωβ, ἀπέσταλκέν με πρὸς ὑμᾶς· τοῦτό
16 μού ἐστιν ὄνομα αἰώνιον καὶ μνημόσυνον γενεῶν γενεαῖς. [16]ἐλθὼν
οὖν συνάγαγε τὴν γερουσίαν τῶν υἱῶν Ισραηλ καὶ ἐρεῖς πρὸς
αὐτούς Κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν ὦπταί μοι, θεὸς Αβρα-
αμ καὶ θεὸς Ισαακ καὶ θεὸς Ιακωβ, λέγων Ἐπισκοπῇ ἐπέσκεμμαι
17 ὑμᾶς καὶ ὅσα συμβέβηκεν ὑμῖν ἐν Αἰγύπτῳ, [17]καὶ εἶπον Ἀναβιβά-
σω ὑμᾶς ἐκ τῆς κακώσεως τῶν Αἰγυπτίων εἰς τὴν γῆν τῶν Χα-
ναναίων καὶ Χετταίων καὶ Αμορραίων καὶ Φερεζαίων καὶ Γεργεσαί-
ων καὶ Ευαίων καὶ Ιεβουσαίων, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι.
18 [18]καὶ εἰσακούσονταί σου τῆς φωνῆς· καὶ εἰσελεύσῃ σὺ καὶ ἡ γε-
ρουσία Ισραηλ πρὸς Φαραω βασιλέα Αἰγύπτου καὶ ἐρεῖς πρὸς αὐ-
τόν Ὁ θεὸς τῶν Εβραίων προσκέκληται ἡμᾶς· πορευσώμεθα οὖν
ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον, ἵνα θύσωμεν τῷ θεῷ ἡμῶν.
19 [19]ἐγὼ δὲ οἶδα ὅτι οὐ προήσεται ὑμᾶς Φαραω βασιλεὺς Αἰγύπτου
20 πορευθῆναι, ἐὰν μὴ μετὰ χειρὸς κραταιᾶς. [20]καὶ ἐκτείνας τὴν χεῖρα
πατάξω τοὺς Αἰγυπτίους ἐν πᾶσι τοῖς θαυμασίοις μου, οἷς ποιήσω
21 ἐν αὐτοῖς, καὶ μετὰ ταῦτα ἐξαποστελεῖ ὑμᾶς. [21]καὶ δώσω χάριν τῷ
λαῷ τούτῳ ἐναντίον τῶν Αἰγυπτίων· ὅταν δὲ ἀποτρέχητε, οὐκ
22 ἀπελεύσεσθε κενοί· [22]αἰτήσει γυνὴ παρὰ γείτονος καὶ συσκήνου
αὐτῆς σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμόν, καὶ ἐπιθήσετε ἐπὶ
τοὺς υἱοὺς ὑμῶν καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν καὶ σκυλεύσετε
4 τοὺς Αἰγυπτίους. — [1]ἀπεκρίθη δὲ Μωυσῆς καὶ εἶπεν Ἐὰν οὖν
μὴ πιστεύσωσίν μοι μηδὲ εἰσακούσωσιν τῆς φωνῆς μου, ἐροῦσιν
2 γὰρ ὅτι Οὐκ ὦπταί σοι ὁ θεός, τί ἐρῶ πρὸς αὐτούς; [2]εἶπεν δὲ
αὐτῷ κύριος Τί τοῦτό ἐστιν τὸ ἐν τῇ χειρί σου; ὁ δὲ εἶπεν Ῥά-
3 βδος. [3]καὶ εἶπεν Ῥῖψον αὐτὴν ἐπὶ τὴν γῆν. καὶ ἔρριψεν αὐτὴν ἐπὶ
4 τὴν γῆν, καὶ ἐγένετο ὄφις· καὶ ἔφυγεν Μωυσῆς ἀπ' αὐτοῦ. [4]καὶ
εἶπεν κύριος πρὸς Μωυσῆν Ἔκτεινον τὴν χεῖρα καὶ ἐπιλαβοῦ τῆς
κέρκου· ἐκτείνας οὖν τὴν χεῖρα ἐπελάβετο τῆς κέρκου, καὶ ἐγένετο
5 ῥάβδος ἐν τῇ χειρὶ αὐτοῦ· [5]ἵνα πιστεύσωσίν σοι ὅτι ὦπταί σοι
κύριος ὁ θεὸς τῶν πατέρων αὐτῶν, θεὸς Αβρααμ καὶ θεὸς Ισαακ
6 καὶ θεὸς Ιακωβ. [6]εἶπεν δὲ αὐτῷ κύριος πάλιν Εἰσένεγκε τὴν χεῖρά

14 μωυσην] + λεγων B† || 15 γενεων > A† || 16 ουν > A: cf. 1 10 || 17 ειπον M] -πεν B, -πα A || 22 σκυλευσετε pau.] -σατε B†, συσκευασεται(pro -τε) A
4 1 ουν > B: cf. 1 10 | ο θεος] pr. κυριος A† || 5 κυριος > B† || 6 εισενεγκε] -κον B: item in 7



σου εἰς τὸν κόλπον σου. καὶ εἰσήνεγκεν τὴν χεῖρα αὐτοῦ εἰς τὸν
κόλπον αὐτοῦ· καὶ ἐξήνεγκεν τὴν χεῖρα αὐτοῦ ἐκ τοῦ κόλπου αὐ-
τοῦ, καὶ ἐγενήθη ἡ χεὶρ αὐτοῦ ὡσεὶ χιών. [7]καὶ εἶπεν Πάλιν εἰσέ- 7
νεγκε τὴν χεῖρά σου εἰς τὸν κόλπον σου. καὶ εἰσήνεγκεν τὴν χεῖ-
ρα εἰς τὸν κόλπον αὐτοῦ· καὶ ἐξήνεγκεν αὐτὴν ἐκ τοῦ κόλπου
αὐτοῦ, καὶ πάλιν ἀπεκατέστη εἰς τὴν χρόαν τῆς σαρκὸς αὐτοῦ.
[8]ἐὰν δὲ μὴ πιστεύσωσίν σοι μηδὲ εἰσακούσωσιν τῆς φωνῆς τοῦ 8
σημείου τοῦ πρώτου, πιστεύσουσίν σοι τῆς φωνῆς τοῦ σημείου
τοῦ ἐσχάτου. [9]καὶ ἔσται ἐὰν μὴ πιστεύσωσίν σοι τοῖς δυσὶ σημεί- 9
οις τούτοις μηδὲ εἰσακούσωσιν τῆς φωνῆς σου, λήμψῃ ἀπὸ τοῦ
ὕδατος τοῦ ποταμοῦ καὶ ἐκχεεῖς ἐπὶ τὸ ξηρόν, καὶ ἔσται τὸ ὕδωρ,
ὃ ἐὰν λάβῃς ἀπὸ τοῦ ποταμοῦ, αἷμα ἐπὶ τοῦ ξηροῦ. — [10]εἶπεν δὲ 10
Μωυσῆς πρὸς κύριον Δέομαι, κύριε, οὐχ ἱκανός εἰμι πρὸ τῆς ἐχθὲς
οὐδὲ πρὸ τῆς τρίτης ἡμέρας οὐδὲ ἀφ' οὗ ἤρξω λαλεῖν τῷ θερά-
ποντί σου· ἰσχνόφωνος καὶ βραδύγλωσσος ἐγώ εἰμι. [11]εἶπεν δὲ 11
κύριος πρὸς Μωυσῆν Τίς ἔδωκεν στόμα ἀνθρώπῳ, καὶ τίς ἐποί-
ησεν δύσκωφον καὶ κωφόν, βλέποντα καὶ τυφλόν; οὐκ ἐγὼ ὁ
θεός; [12]καὶ νῦν πορεύου, καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου καὶ συμ- 12
βιβάσω σε ὃ μέλλεις λαλῆσαι. [13]καὶ εἶπεν Μωυσῆς Δέομαι, κύριε, 13
προχείρισαι δυνάμενον ἄλλον, ὃν ἀποστελεῖς. [14]καὶ θυμωθεὶς ὀρ- 14
γῇ κύριος ἐπὶ Μωυσῆν εἶπεν Οὐκ ἰδοὺ Ααρων ὁ ἀδελφός σου ὁ
Λευίτης; ἐπίσταμαι ὅτι λαλῶν λαλήσει αὐτός σοι· καὶ ἰδοὺ αὐτὸς
ἐξελεύσεται εἰς συνάντησίν σοι καὶ ἰδών σε χαρήσεται ἐν ἑαυτῷ.
[15]καὶ ἐρεῖς πρὸς αὐτὸν καὶ δώσεις τὰ ῥήματά μου εἰς τὸ στόμα 15
αὐτοῦ· καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου καὶ τὸ στόμα αὐτοῦ καὶ
συμβιβάσω ὑμᾶς ἃ ποιήσετε. [16]καὶ αὐτός σοι προσλαλήσει πρὸς 16
τὸν λαόν, καὶ αὐτὸς ἔσται σου στόμα, σὺ δὲ αὐτῷ ἔσῃ τὰ πρὸς
τὸν θεόν. [17]καὶ τὴν ῥάβδον ταύτην τὴν στραφεῖσαν εἰς ὄφιν 17
λήμψῃ ἐν τῇ χειρί σου, ἐν ᾗ ποιήσεις ἐν αὐτῇ τὰ σημεῖα.
[18]Ἐπορεύθη δὲ Μωυσῆς καὶ ἀπέστρεψεν πρὸς Ιοθορ τὸν γαμ- 18
βρὸν αὐτοῦ καὶ λέγει Πορεύσομαι καὶ ἀποστρέψω πρὸς τοὺς
ἀδελφούς μου τοὺς ἐν Αἰγύπτῳ καὶ ὄψομαι εἰ ἔτι ζῶσιν. καὶ εἶ-
πεν Ιοθορ Μωυσῇ Βάδιζε ὑγιαίνων. [19]μετὰ δὲ τὰς ἡμέρας τὰς 19
πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου. εἶπεν δὲ κύριος
πρὸς Μωυσῆν ἐν Μαδιαμ Βάδιζε ἄπελθε εἰς Αἴγυπτον· τεθνήκασιν
γὰρ πάντες οἱ ζητοῦντές σου τὴν ψυχήν. [20]ἀναλαβὼν δὲ Μωυ- 20
σῆς τὴν γυναῖκα καὶ τὰ παιδία ἀνεβίβασεν αὐτὰ ἐπὶ τὰ ὑποζύγια
καὶ ἐπέστρεψεν εἰς Αἴγυπτον· ἔλαβεν δὲ Μωυσῆς τὴν ῥάβδον τὴν

6 αυτου ult.] μωυσεως A† || 7 χειρα 2⁰] + αυτου A (in O sub ※) | αυτου ult.] -της B || 10 κυριον] τον θεον A† | ουδε 1⁰] και A || 11 προς μ.] τω μωυσει A | ο θεος] pr. κυριος A || 12 ο] α A || 16 προσλαλησει] προσ > B* || 18 επεστρεψεν A

21 παρὰ τοῦ θεοῦ ἐν τῇ χειρὶ αὐτοῦ. [21]εἶπεν δὲ κύριος πρὸς Μωυ-
σῆν Πορευομένου σου καὶ ἀποστρέφοντος εἰς Αἴγυπτον ὅρα πάν-
τα τὰ τέρατα, ἃ ἔδωκα ἐν ταῖς χερσίν σου, ποιήσεις αὐτὰ ἐναν-
τίον Φαραω· ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν αὐτοῦ, καὶ οὐ μὴ
22 ἐξαποστείλῃ τὸν λαόν. [22]σὺ δὲ ἐρεῖς τῷ Φαραω Τάδε λέγει κύριος
23 Υἱὸς πρωτότοκός μου Ισραηλ· [23]εἶπα δέ σοι Ἐξαπόστειλον τὸν
λαόν μου, ἵνα μοι λατρεύσῃ· εἰ μὲν οὖν μὴ βούλει ἐξαποστεῖλαι
αὐτούς, ὅρα οὖν ἐγὼ ἀποκτενῶ τὸν υἱόν σου τὸν πρωτότοκον.
24 [24]Ἐγένετο δὲ ἐν τῇ ὁδῷ ἐν τῷ καταλύματι συνήντησεν αὐτῷ
25 ἄγγελος κυρίου καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι. [25]καὶ λαβοῦσα Σεπ-
φωρα ψῆφον περιέτεμεν τὴν ἀκροβυστίαν τοῦ υἱοῦ αὐτῆς καὶ
προσέπεσεν πρὸς τοὺς πόδας καὶ εἶπεν Ἔστη τὸ αἷμα τῆς περι-
26 τομῆς τοῦ παιδίου μου. [26]καὶ ἀπῆλθεν ἀπ᾽ αὐτοῦ, διότι εἶπεν
Ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου.
27 [27]Εἶπεν δὲ κύριος πρὸς Ααρων Πορεύθητι εἰς συνάντησιν Μωυ-
σεῖ εἰς τὴν ἔρημον· καὶ ἐπορεύθη καὶ συνήντησεν αὐτῷ ἐν τῷ
28 ὄρει τοῦ θεοῦ, καὶ κατεφίλησαν ἀλλήλους. [28]καὶ ἀνήγγειλεν Μωυ-
σῆς τῷ Ααρων πάντας τοὺς λόγους κυρίου, οὓς ἀπέστειλεν, καὶ
29 πάντα τὰ σημεῖα, ἃ ἐνετείλατο αὐτῷ. [29]ἐπορεύθη δὲ Μωυσῆς καὶ
30 Ααρων καὶ συνήγαγον τὴν γερουσίαν τῶν υἱῶν Ισραηλ. [30]καὶ ἐλά-
λησεν Ααρων πάντα τὰ ῥήματα ταῦτα, ἃ ἐλάλησεν ὁ θεὸς πρὸς
31 Μωυσῆν, καὶ ἐποίησεν τὰ σημεῖα ἐναντίον τοῦ λαοῦ. [31]καὶ ἐπίστευ-
σεν ὁ λαὸς καὶ ἐχάρη, ὅτι ἐπεσκέψατο ὁ θεὸς τοὺς υἱοὺς Ισραηλ,
καὶ ὅτι εἶδεν αὐτῶν τὴν θλῖψιν· κύψας δὲ ὁ λαὸς προσεκύνησεν.
5 [1]Καὶ μετὰ ταῦτα εἰσῆλθεν Μωυσῆς καὶ Ααρων πρὸς Φαραω καὶ
εἶπαν αὐτῷ Τάδε λέγει κύριος ὁ θεὸς Ισραηλ Ἐξαπόστειλον τὸν
2 λαόν μου, ἵνα μοι ἑορτάσωσιν ἐν τῇ ἐρήμῳ. [2]καὶ εἶπεν Φαραω
Τίς ἐστιν οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ ὥστε ἐξαποστεῖλαι
τοὺς υἱοὺς Ισραηλ; οὐκ οἶδα τὸν κύριον καὶ τὸν Ισραηλ οὐκ ἐξα-
3 ποστέλλω. [3]καὶ λέγουσιν αὐτῷ Ὁ θεὸς τῶν Εβραίων προσκέκλη-
ται ἡμᾶς· πορευσόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον,
ὅπως θύσωμεν τῷ θεῷ ἡμῶν, μήποτε συναντήσῃ ἡμῖν θάνατος ἢ
4 φόνος. [4]καὶ εἶπεν αὐτοῖς ὁ βασιλεὺς Αἰγύπτου Ἵνα τί, Μωυσῆ καὶ
Ααρων, διαστρέφετε τὸν λαόν μου ἀπὸ τῶν ἔργων; ἀπέλθατε ἕκα-
5 στος ὑμῶν πρὸς τὰ ἔργα αὐτοῦ. [5]καὶ εἶπεν Φαραω Ἰδοὺ νῦν πο-
λυπληθεῖ ὁ λαός· μὴ οὖν καταπαύσωμεν αὐτοὺς ἀπὸ τῶν ἔργων.
6 [6]συνέταξεν δὲ Φαραω τοῖς ἐργοδιώκταις τοῦ λαοῦ καὶ τοῖς γραμ-

20 τη > A || 21 την καρδ. / αυτου] tr. A || 23 αποκτεννω B† || 26 > B | μου M] > A || 27 μωυσει A] μωσει B: pro μωυσ- B et A crebro μωσ- praebent, ego ubique formam antiquiorem μωυσ- restituo || 28 τω > A | σημεια] ρηματα B†
5 1 μοι εορτ.] tr. A || 2 εστιν] + θεος A† || 5 λαος] + της γης A



ματεῦσιν λέγων [7]Οὐκέτι προστεθήσεται διδόναι ἄχυρον τῷ λαῷ 7
εἰς τὴν πλινθουργίαν καθάπερ ἐχθὲς καὶ τρίτην ἡμέραν· αὐτοὶ πο-
ρευέσθωσαν καὶ συναγαγέτωσαν ἑαυτοῖς ἄχυρα. [8]καὶ τὴν σύντα- 8
ξιν τῆς πλινθείας, ἧς αὐτοὶ ποιοῦσιν καθ᾽ ἑκάστην ἡμέραν, ἐπιβα-
λεῖς αὐτοῖς, οὐκ ἀφελεῖς οὐδέν· σχολάζουσιν γάρ· διὰ τοῦτο κε-
κράγασιν λέγοντες Πορευθῶμεν καὶ θύσωμεν τῷ θεῷ ἡμῶν. [9]βα- 9
ρυνέσθω τὰ ἔργα τῶν ἀνθρώπων τούτων, καὶ μεριμνάτωσαν ταῦ-
τα καὶ μὴ μεριμνάτωσαν ἐν λόγοις κενοῖς. [10]κατέσπευδον δὲ αὐ- 10
τοὺς οἱ ἐργοδιῶκται καὶ οἱ γραμματεῖς καὶ ἔλεγον πρὸς τὸν λαὸν
λέγοντες Τάδε λέγει Φαραω Οὐκέτι δίδωμι ὑμῖν ἄχυρα· [11]αὐτοὶ 11
ὑμεῖς πορευόμενοι συλλέγετε ἑαυτοῖς ἄχυρα ὅθεν ἐὰν εὕρητε, οὐ
γὰρ ἀφαιρεῖται ἀπὸ τῆς συντάξεως ὑμῶν οὐθέν. [12]καὶ διεσπάρη ὁ 12
λαὸς ἐν ὅλῃ Αἰγύπτῳ συναγαγεῖν καλάμην εἰς ἄχυρα· [13]οἱ δὲ ἐργο- 13
διῶκται κατέσπευδον αὐτοὺς λέγοντες Συντελεῖτε τὰ ἔργα τὰ καθή-
κοντα καθ᾽ ἡμέραν καθάπερ καὶ ὅτε τὸ ἄχυρον ἐδίδοτο ὑμῖν. [14]καὶ 14
ἐμαστιγώθησαν οἱ γραμματεῖς τοῦ γένους τῶν υἱῶν Ισραηλ οἱ
κατασταθέντες ἐπ᾽ αὐτοὺς ὑπὸ τῶν ἐπιστατῶν τοῦ Φαραω λέγον-
τες Διὰ τί οὐ συνετελέσατε τὰς συντάξεις ὑμῶν τῆς πλινθείας,
καθάπερ ἐχθὲς καὶ τρίτην ἡμέραν, καὶ τὸ τῆς σήμερον; [15]εἰσελ- 15
θόντες δὲ οἱ γραμματεῖς τῶν υἱῶν Ισραηλ κατεβόησαν πρὸς Φα-
ραω λέγοντες Ἵνα τί οὕτως ποιεῖς τοῖς σοῖς οἰκέταις; [16]ἄχυρον 16
οὐ δίδοται τοῖς οἰκέταις σου, καὶ τὴν πλίνθον ἡμῖν λέγουσιν ποι-
εῖν, καὶ ἰδοὺ οἱ παῖδές σου μεμαστίγωνται· ἀδικήσεις οὖν τὸν λαόν
σου. [17]καὶ εἶπεν αὐτοῖς Σχολάζετε, σχολασταί ἐστε· διὰ τοῦτο λέ- 17
γετε Πορευθῶμεν θύσωμεν τῷ θεῷ ἡμῶν. [18]νῦν οὖν πορευθέντες 18
ἐργάζεσθε· τὸ γὰρ ἄχυρον οὐ δοθήσεται ὑμῖν, καὶ τὴν σύνταξιν τῆς
πλινθείας ἀποδώσετε. [19]ἑώρων δὲ οἱ γραμματεῖς τῶν υἱῶν Ισραηλ 19
ἑαυτοὺς ἐν κακοῖς λέγοντες Οὐκ ἀπολείψετε τῆς πλινθείας τὸ καθή-
κον τῇ ἡμέρᾳ. [20]συνήντησαν δὲ Μωυσῇ καὶ Ααρων ἐρχομένοις εἰς 20
συνάντησιν αὐτοῖς ἐκπορευομένων αὐτῶν ἀπὸ Φαραω [21]καὶ εἶπαν 21
αὐτοῖς Ἴδοι ὁ θεὸς ὑμᾶς καὶ κρίναι, ὅτι ἐβδελύξατε τὴν ὀσμὴν
ἡμῶν ἐναντίον Φαραω καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ δοῦ-
ναι ῥομφαίαν εἰς τὰς χεῖρας αὐτοῦ ἀποκτεῖναι ἡμᾶς. [22]ἐπέστρεψεν 22
δὲ Μωυσῆς πρὸς κύριον καὶ εἶπεν Κύριε, διὰ τί ἐκάκωσας τὸν
λαὸν τοῦτον; καὶ ἵνα τί ἀπέσταλκάς με; [23]καὶ ἀφ᾽ οὗ πεπόρευμαι 23
πρὸς Φαραω λαλῆσαι ἐπὶ τῷ σῷ ὀνόματι, ἐκάκωσεν τὸν λαὸν τοῦ-
τον, καὶ οὐκ ἐρρύσω τὸν λαόν σου. [1]καὶ εἶπεν κύριος πρὸς Μωυ- 6

7 προστεθησεσθαι(pro -θε) A | ημεραν] + και το της σημερον A: cf. 14 || 8 πλινθειας] -θουργιας A | πορευθωμεν] εγερθωμεν B† || 9 μεριμνασθωσαν bis A† || 11 υμεις > B*† | αφαιρειτε BA || 12 ολη] + γη B (in O sub ※) || 17 θυσωμεν] pr. και A || 18 πορευθεντες] απελθοντες A || 22 κυριε δια τι] δεομαι κυρ. τι B† || 23 λαλησαι] + αυτω A†

σῆν Ἤδη ὄψει ἃ ποιήσω τῷ Φαραω· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξαπο-
στελεῖ αὐτοὺς καὶ ἐν βραχίονι ὑψηλῷ ἐκβαλεῖ αὐτοὺς ἐκ τῆς γῆς
αὐτοῦ.
2 2Ἐλάλησεν δὲ ὁ θεὸς πρὸς Μωυσῆν καὶ εἶπεν πρὸς αὐτόν
3 Ἐγὼ κύριος· 3καὶ ὤφθην πρὸς Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ, θεὸς
4 ὢν αὐτῶν, καὶ τὸ ὄνομά μου κύριος οὐκ ἐδήλωσα αὐτοῖς· 4καὶ
ἔστησα τὴν διαθήκην μου πρὸς αὐτοὺς ὥστε δοῦναι αὐτοῖς τὴν
γῆν τῶν Χαναναίων, τὴν γῆν, ἣν παρῳκήκασιν, ἐν ᾗ καὶ παρῴ-
5 κησαν ἐπ᾽ αὐτῆς. 5καὶ ἐγὼ εἰσήκουσα τὸν στεναγμὸν τῶν υἱῶν
Ισραηλ, ὃν οἱ Αἰγύπτιοι καταδουλοῦνται αὐτούς, καὶ ἐμνήσθην τῆς
6 διαθήκης ὑμῶν. 6βάδιζε εἰπὸν τοῖς υἱοῖς Ισραηλ λέγων Ἐγὼ κύ-
ριος καὶ ἐξάξω ὑμᾶς ἀπὸ τῆς δυναστείας τῶν Αἰγυπτίων καὶ ῥύ-
σομαι ὑμᾶς ἐκ τῆς δουλείας καὶ λυτρώσομαι ὑμᾶς ἐν βραχίονι
7 ὑψηλῷ καὶ κρίσει μεγάλῃ 7καὶ λήμψομαι ἐμαυτῷ ὑμᾶς λαὸν ἐμοὶ
καὶ ἔσομαι ὑμῶν θεός, καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν
8 ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ τῆς καταδυναστείας τῶν Αἰγυπτίων, 8καὶ εἰσ-
άξω ὑμᾶς εἰς τὴν γῆν, εἰς ἣν ἐξέτεινα τὴν χεῖρά μου δοῦναι
αὐτὴν τῷ Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ, καὶ δώσω ὑμῖν αὐτὴν ἐν
9 κλήρῳ· ἐγὼ κύριος. 9ἐλάλησεν δὲ Μωυσῆς οὕτως τοῖς υἱοῖς Ισ-
ραηλ, καὶ οὐκ εἰσήκουσαν Μωυσῆ ἀπὸ τῆς ὀλιγοψυχίας καὶ ἀπὸ
τῶν ἔργων τῶν σκληρῶν.
10
11 10Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν λέγων 11Εἴσελθε λάλησον Φα-
ραω βασιλεῖ Αἰγύπτου, ἵνα ἐξαποστείλῃ τοὺς υἱοὺς Ισραηλ ἐκ τῆς
12 γῆς αὐτοῦ. 12ἐλάλησεν δὲ Μωυσῆς ἔναντι κυρίου λέγων Ἰδοὺ οἱ
υἱοὶ Ισραηλ οὐκ εἰσήκουσάν μου, καὶ πῶς εἰσακούσεταί μου Φα-
13 ραω; ἐγὼ δὲ ἄλογός εἰμι. 13εἶπεν δὲ κύριος πρὸς Μωυσῆν καὶ
Ααρων καὶ συνέταξεν αὐτοῖς πρὸς Φαραω βασιλέα Αἰγύπτου
ὥστε ἐξαποστεῖλαι τοὺς υἱοὺς Ισραηλ ἐκ γῆς Αἰγύπτου.
14 14Καὶ οὗτοι ἀρχηγοὶ οἴκων πατριῶν αὐτῶν. υἱοὶ Ρουβην πρω-
τοτόκου Ισραηλ· Ενωχ καὶ Φαλλους, Ασρων καὶ Χαρμι· αὕτη ἡ
15 συγγένεια Ρουβην. 15καὶ υἱοὶ Συμεων· Ιεμουηλ καὶ Ιαμιν καὶ Αωδ
καὶ Ιαχιν καὶ Σααρ καὶ Σαουλ ὁ ἐκ τῆς Φοινίσσης· αὗται αἱ πα-
16 τριαὶ τῶν υἱῶν Συμεων. 16καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Λευι
κατὰ συγγενείας αὐτῶν· Γεδσων, Κααθ καὶ Μεραρι· καὶ τὰ ἔτη
17 τῆς ζωῆς Λευι ἑκατὸν τριάκοντα ἑπτά. 17καὶ οὗτοι υἱοὶ Γεδσων·
18 Λοβενι καὶ Σεμεϊ, οἶκοι πατριᾶς αὐτῶν. 18καὶ υἱοὶ Κααθ· Αμβραμ
καὶ Ισσααρ, Χεβρων καὶ Οζιηλ· καὶ τὰ ἔτη τῆς ζωῆς Κααθ ἑκατὸν

6 5 καταδουλωσιν A† || 7 εμαυτω υμας] tr. A || 8 εισαξω] εξαξω B*† | υμιν αυτην] tr. A || 12 εναντιον A || 13 εξαποστ.] εξαγαγειν A || 15 ιεμιηλ B† | αωδ M] ιωαδ B, ιαωαδι A† | ιαχιν] ν > A† || 16 γηρσων A (sed in 17 etiam A γεδσων) | κααθ] pr. και B† || 18 ισσαχαρ B† (sed in 21 etiam B ισσααρ)



τριάκοντα ἔτη. 19καὶ υἱοὶ Μεραρι· Μοολι καὶ Ομουσι. οὗτοι οἶκοι 19
πατριῶν Λευι κατὰ συγγενείας αὐτῶν. 20καὶ ἔλαβεν Αμβραμ τὴν 20
Ιωχαβεδ θυγατέρα τοῦ ἀδελφοῦ τοῦ πατρὸς αὐτοῦ ἑαυτῷ εἰς γυ-
ναῖκα, καὶ ἐγέννησεν αὐτῷ τόν τε Ααρων καὶ Μωυσῆν καὶ Μα-
ριαμ τὴν ἀδελφὴν αὐτῶν· τὰ δὲ ἔτη τῆς ζωῆς Αμβραμ ἑκατὸν
τριάκοντα δύο ἔτη. 21καὶ υἱοὶ Ισσααρ· Κορε καὶ Ναφεκ καὶ Ζεχρι. 21
22καὶ υἱοὶ Οζιηλ· Ελισαφαν καὶ Σετρι. 23ἔλαβεν δὲ Ααρων τὴν 22
Ελισαβεθ θυγατέρα Αμιναδαβ ἀδελφὴν Ναασσων αὐτῷ γυναῖκα, 23
καὶ ἔτεκεν αὐτῷ τόν τε Ναδαβ καὶ Αβιουδ καὶ Ελεαζαρ καὶ Ιθα-
μαρ. 24υἱοὶ δὲ Κορε· Ασιρ καὶ Ελκανα καὶ Αβιασαφ· αὗται αἱ γενέ- 24
σεις Κορε. 25καὶ Ελεαζαρ ὁ τοῦ Ααρων ἔλαβεν τῶν θυγατέρων 25
Φουτιηλ αὐτῷ γυναῖκα, καὶ ἔτεκεν αὐτῷ τὸν Φινεες. αὗται αἱ ἀρ-
χαὶ πατριᾶς Λευιτῶν κατὰ γενέσεις αὐτῶν. 26οὗτος Ααρων καὶ 26
Μωυσῆς, οἷς εἶπεν αὐτοῖς ὁ θεὸς ἐξαγαγεῖν τοὺς υἱοὺς Ισραηλ ἐκ
γῆς Αἰγύπτου σὺν δυνάμει αὐτῶν· 27οὗτοί εἰσιν οἱ διαλεγόμενοι 27
πρὸς Φαραω βασιλέα Αἰγύπτου καὶ ἐξήγαγον τοὺς υἱοὺς Ισραηλ
ἐξ Αἰγύπτου· αὐτὸς Ααρων καὶ Μωυσῆς.
28Ἧι ἡμέρᾳ ἐλάλησεν κύριος Μωυσῆ ἐν γῇ Αἰγύπτῳ, 29καὶ ἐλά- 28
λησεν κύριος πρὸς Μωυσῆν λέγων Ἐγὼ κύριος· λάλησον πρὸς 29
Φαραω βασιλέα Αἰγύπτου ὅσα ἐγὼ λέγω πρὸς σέ. 30καὶ εἶπεν
Μωυσῆς ἐναντίον κυρίου Ἰδοὺ ἐγὼ ἰσχνόφωνός εἰμι, καὶ πῶς εἰσ- 30
ακούσεταί μου Φαραω; 1καὶ εἶπεν κύριος πρὸς Μωυσῆν λέγων 7
Ἰδοὺ δέδωκά σε θεὸν Φαραω, καὶ Ααρων ὁ ἀδελφός σου ἔσται
σου προφήτης· 2σὺ δὲ λαλήσεις αὐτῷ πάντα, ὅσα σοι ἐντέλλομαι, 2
ὁ δὲ Ααρων ὁ ἀδελφός σου λαλήσει πρὸς Φαραω ὥστε ἐξαπο-
στεῖλαι τοὺς υἱοὺς Ισραηλ ἐκ τῆς γῆς αὐτοῦ. 3ἐγὼ δὲ σκληρυνῶ 3
τὴν καρδίαν Φαραω καὶ πληθυνῶ τὰ σημεῖά μου καὶ τὰ τέρατα ἐν
γῇ Αἰγύπτῳ. 4καὶ οὐκ εἰσακούσεται ὑμῶν Φαραω· καὶ ἐπιβαλῶ 4
τὴν χεῖρά μου ἐπ᾽ Αἴγυπτον καὶ ἐξάξω σὺν δυνάμει μου τὸν λαόν
μου τοὺς υἱοὺς Ισραηλ ἐκ γῆς Αἰγύπτου σὺν ἐκδικήσει μεγάλῃ,
5καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι ὅτι ἐγώ εἰμι κύριος ἐκτείνων 5
τὴν χεῖρα ἐπ᾽ Αἴγυπτον, καὶ ἐξάξω τοὺς υἱοὺς Ισραηλ ἐκ μέσου
αὐτῶν. 6ἐποίησεν δὲ Μωυσῆς καὶ Ααρων, καθάπερ ἐνετείλατο αὐ- 6
τοῖς κύριος, οὕτως ἐποίησαν. 7Μωυσῆς δὲ ἦν ἐτῶν ὀγδοήκοντα, 7
Ααρων δὲ ὁ ἀδελφὸς αὐτοῦ ἐτῶν ὀγδοήκοντα τριῶν, ἡνίκα ἐλά-
λησεν πρὸς Φαραω.

19 υιοι] pr. οι A: item in 22 | συγγενιαν B† || 20 αμβραν bis B (sed in 18 etiam B αμβραμ) | δυο] εξ A || 22 σετρι M] σεγρει B, σεθρει A || 23 ελισαβε A*† (-βετ A^c) | αμιναδαμ A | αβιουδ] αβισουρ A†, pr. τον B† | ελεαζαρ] pr. τον B† || 24 ασηρ A | αβιασαρ BA || 26 αυτοις / ο θεος] tr. A | εκ γης] εξ A || 27 εξ] εκ της B†
7 3 μου και τα τερ.] και τερ. μου A || 5 χειρα] + μου A^c | αυτων] -της A† || 7 ετων / ογδ. τριων] tr. A | ελαλησαν A

8 8Καὶ εἶπεν κύριος πρὸς Μωυσῆν καὶ Ααρων λέγων 9Καὶ ἐὰν
9 λαλήσῃ πρὸς ὑμᾶς Φαραω λέγων Δότε ἡμῖν σημεῖον ἢ τέρας,
καὶ ἐρεῖς Ααρων τῷ ἀδελφῷ σου Λαβὲ τὴν ῥάβδον καὶ ῥῖψον
αὐτὴν ἐπὶ τὴν γῆν ἐναντίον Φαραω καὶ ἐναντίον τῶν θεραπόντων
10 αὐτοῦ, καὶ ἔσται δράκων. 10εἰσῆλθεν δὲ Μωυσῆς καὶ Ααρων ἐναν-
τίον Φαραω καὶ τῶν θεραπόντων αὐτοῦ καὶ ἐποίησαν οὕτως,
καθάπερ ἐνετείλατο αὐτοῖς κύριος· καὶ ἔρριψεν Ααρων τὴν ῥά-
βδον ἐναντίον Φαραω καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, καὶ
11 ἐγένετο δράκων. 11συνεκάλεσεν δὲ Φαραω τοὺς σοφιστὰς Αἰγύ-
πτου καὶ τοὺς φαρμακούς, καὶ ἐποίησαν καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυ-
12 πτίων ταῖς φαρμακείαις αὐτῶν ὡσαύτως. 12καὶ ἔρριψαν ἕκαστος
τὴν ῥάβδον αὐτοῦ, καὶ ἐγένοντο δράκοντες· καὶ κατέπιεν ἡ ῥά-
13 βδος ἡ Ααρων τὰς ἐκείνων ῥάβδους. 13καὶ κατίσχυσεν ἡ καρδία
Φαραω, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησεν αὐτοῖς κύριος.
14 14Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Βεβάρηται ἡ καρδία Φαραω
15 τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαόν. 15βάδισον πρὸς Φαραω τὸ πρωί·
ἰδοὺ αὐτὸς ἐκπορεύεται ἐπὶ τὸ ὕδωρ, καὶ στήσῃ συναντῶν αὐτῷ
ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ καὶ τὴν ῥάβδον τὴν στραφεῖσαν εἰς
16 ὄφιν λήμψῃ ἐν τῇ χειρί σου. 16καὶ ἐρεῖς πρὸς αὐτόν Κύριος ὁ
θεὸς τῶν Εβραίων ἀπέσταλκέν με πρὸς σὲ λέγων Ἐξαπόστειλον
τὸν λαόν μου, ἵνα μοι λατρεύσῃ ἐν τῇ ἐρήμῳ· καὶ ἰδοὺ οὐκ εἰσή-
17 κουσας ἕως τούτου. 17τάδε λέγει κύριος Ἐν τούτῳ γνώσῃ ὅτι
ἐγὼ κύριος· ἰδοὺ ἐγὼ τύπτω τῇ ῥάβδῳ τῇ ἐν τῇ χειρί μου ἐπὶ
18 τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ, καὶ μεταβαλεῖ εἰς αἷμα· 18καὶ οἱ
ἰχθύες οἱ ἐν τῷ ποταμῷ τελευτήσουσιν, καὶ ἐποζέσει ὁ ποταμός,
καὶ οὐ δυνήσονται οἱ Αἰγύπτιοι πιεῖν ὕδωρ ἀπὸ τοῦ ποταμοῦ.
19 19εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Εἰπὸν Ααρων τῷ ἀδελφῷ σου
Λαβὲ τὴν ῥάβδον σου καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὰ ὕδατα
Αἰγύπτου καὶ ἐπὶ τοὺς ποταμοὺς αὐτῶν καὶ ἐπὶ τὰς διώρυγας αὐ-
τῶν καὶ ἐπὶ τὰ ἕλη αὐτῶν καὶ ἐπὶ πᾶν συνεστηκὸς ὕδωρ αὐτῶν,
καὶ ἔσται αἷμα. καὶ ἐγένετο αἷμα ἐν πάσῃ γῇ Αἰγύπτου ἔν τε τοῖς
20 ξύλοις καὶ ἐν τοῖς λίθοις. 20καὶ ἐποίησαν οὕτως Μωυσῆς καὶ Αα-
ρων, καθάπερ ἐνετείλατο αὐτοῖς κύριος· καὶ ἐπάρας τῇ ῥάβδῳ αὐ-
τοῦ ἐπάταξεν τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ ἐναντίον Φαραω καὶ
ἐναντίον τῶν θεραπόντων αὐτοῦ καὶ μετέβαλεν πᾶν τὸ ὕδωρ τὸ
21 ἐν τῷ ποταμῷ εἰς αἷμα. 21καὶ οἱ ἰχθύες οἱ ἐν τῷ ποταμῷ ἐτε-
λεύτησαν, καὶ ἐπώζεσεν ὁ ποταμός, καὶ οὐκ ἠδύναντο οἱ Αἰγύ-
πτιοι πιεῖν ὕδωρ ἐκ τοῦ ποταμοῦ, καὶ ἦν τὸ αἷμα ἐν πάσῃ γῇ

9 αυτην > B† || 12 ερριψεν A | αυτου] -των B† || 13 ελαλ.] ενετειλατο B† || 14 ειπεν δε] και ειπεν A || 15 στηση] εση B || 19 σου 2°] + εν τη χειρι σου B | σου 3° > A | αιγυπτου 1°] του ποταμου A† | αιγυπτου 2°] -πτω A || 20 επαρας] + ααρων A^c | την ραβδον A



Αἰγύπτου. 22ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων 22
ταῖς φαρμακείαις αὐτῶν· καὶ ἐσκληρύνθη ἡ καρδία Φαραω, καὶ
οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ εἶπεν κύριος. 23ἐπιστραφεὶς δὲ 23
Φαραω εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ καὶ οὐκ ἐπέστησεν τὸν νοῦν
αὐτοῦ οὐδὲ ἐπὶ τούτῳ. 24ὤρυξαν δὲ πάντες οἱ Αἰγύπτιοι κύκλῳ 24
τοῦ ποταμοῦ ὥστε πιεῖν ὕδωρ, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἀπὸ
τοῦ ποταμοῦ. 25καὶ ἀνεπληρώθησαν ἑπτὰ ἡμέραι μετὰ τὸ πατάξαι 25
κύριον τὸν ποταμόν.
26Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Εἴσελθε πρὸς Φαραω καὶ ἐρεῖς 26
πρὸς αὐτόν Τάδε λέγει κύριος Ἐξαπόστειλον τὸν λαόν μου, ἵνα
μοι λατρεύσωσιν· 27εἰ δὲ μὴ βούλει σὺ ἐξαποστεῖλαι, ἰδοὺ ἐγὼ 27
τύπτω πάντα τὰ ὅριά σου τοῖς βατράχοις. 28καὶ ἐξερεύξεται ὁ πο- 28
ταμὸς βατράχους, καὶ ἀναβάντες εἰσελεύσονται εἰς τοὺς οἴκους σου
καὶ εἰς τὰ ταμίεια τῶν κοιτώνων σου καὶ ἐπὶ τῶν κλινῶν σου καὶ
εἰς τοὺς οἴκους τῶν θεραπόντων σου καὶ τοῦ λαοῦ σου καὶ ἐν
τοῖς φυράμασίν σου καὶ ἐν τοῖς κλιβάνοις σου· 29καὶ ἐπὶ σὲ καὶ 29
ἐπὶ τοὺς θεράποντάς σου καὶ ἐπὶ τὸν λαόν σου ἀναβήσονται οἱ
βάτραχοι. 1εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Εἰπὸν Ααρων τῷ ἀδελ- **8**
φῷ σου Ἔκτεινον τῇ χειρὶ τὴν ῥάβδον σου ἐπὶ τοὺς ποταμοὺς
καὶ ἐπὶ τὰς διώρυγας καὶ ἐπὶ τὰ ἕλη καὶ ἀνάγαγε τοὺς βατράχους.
2καὶ ἐξέτεινεν Ααρων τὴν χεῖρα ἐπὶ τὰ ὕδατα Αἰγύπτου καὶ ἀνή- 2
γαγεν τοὺς βατράχους· καὶ ἀνεβιβάσθη ὁ βάτραχος καὶ ἐκάλυψεν
τὴν γῆν Αἰγύπτου. 3ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν 3
Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν καὶ ἀνήγαγον τοὺς βατράχους
ἐπὶ γῆν Αἰγύπτου. 4καὶ ἐκάλεσεν Φαραω Μωυσῆν καὶ Ααρων καὶ 4
εἶπεν Εὔξασθε περὶ ἐμοῦ πρὸς κύριον, καὶ περιελέτω τοὺς βατρά-
χους ἀπ᾿ ἐμοῦ καὶ ἀπὸ τοῦ ἐμοῦ λαοῦ, καὶ ἐξαποστελῶ τὸν λαόν,
καὶ θύσωσιν κυρίῳ. 5εἶπεν δὲ Μωυσῆς πρὸς Φαραω Τάξαι πρός 5
με, πότε εὔξωμαι περὶ σοῦ καὶ περὶ τῶν θεραπόντων σου καὶ περὶ
τοῦ λαοῦ σου ἀφανίσαι τοὺς βατράχους ἀπὸ σοῦ καὶ ἀπὸ τοῦ
λαοῦ σου καὶ ἐκ τῶν οἰκιῶν ὑμῶν, πλὴν ἐν τῷ ποταμῷ ὑπολει-
φθήσονται. 6ὁ δὲ εἶπεν Εἰς αὔριον. εἶπεν οὖν Ὡς εἴρηκας· ἵνα 6
εἰδῇς ὅτι οὐκ ἔστιν ἄλλος πλὴν κυρίου· 7καὶ περιαιρεθήσονται οἱ 7
βάτραχοι ἀπὸ σοῦ καὶ ἐκ τῶν οἰκιῶν ὑμῶν καὶ ἐκ τῶν ἐπαύλεων
καὶ ἀπὸ τῶν θεραπόντων σου καὶ ἀπὸ τοῦ λαοῦ σου, πλὴν ἐν
τῷ ποταμῷ ὑπολειφθήσονται. 8ἐξῆλθεν δὲ Μωυσῆς καὶ Ααρων 8
ἀπὸ Φαραω· καὶ ἐβόησεν Μωυσῆς πρὸς κύριον περὶ τοῦ ὁρισμοῦ

22 εσκληρυνεν B† || 24 υδωρ 1°] + απο του ποταμου B*† || 27 τοις > A || 28 εις 3°] επι B† | και ult.] pr. και εν τοις φρεασιν σου A†
8 1 συναγαγε A† || 2 ο] η A† || 3 ταις] pr. εν AB^c | φαρμακ.] επαοιδαις A | γην] pr. πασαν A† || 4 τον λαον] αυτους B† | κυριω] pr. τω B† || 5 περι 3° > A || 6 ιδης B (sed in 18 B ειδης): cf. 11 7 | κυριου] -ιος A

9 τῶν βατράχων, ὡς ἐτάξατο Φαραω. 9ἐποίησεν δὲ κύριος καθάπερ
εἶπεν Μωυσῆς, καὶ ἐτελεύτησαν οἱ βάτραχοι ἐκ τῶν οἰκιῶν καὶ
10 ἐκ τῶν ἐπαύλεων καὶ ἐκ τῶν ἀγρῶν· 10καὶ συνήγαγον αὐτοὺς
11 θιμωνιὰς θιμωνιάς, καὶ ὤζεσεν ἡ γῆ. 11ἰδὼν δὲ Φαραω ὅτι γέ-
γονεν ἀνάψυξις, ἐβαρύνθη ἡ καρδία αὐτοῦ, καὶ οὐκ εἰσήκουσεν
αὐτῶν, καθάπερ ἐλάλησεν κύριος.
12 12Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Εἰπὸν Ααρων Ἔκτεινον τῇ
χειρὶ τὴν ῥάβδον σου καὶ πάταξον τὸ χῶμα τῆς γῆς, καὶ ἔσονται
σκνῖφες ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσιν καὶ ἐν πά-
13 σῃ γῇ Αἰγύπτου. 13ἐξέτεινεν οὖν Ααρων τῇ χειρὶ τὴν ῥάβδον καὶ
ἐπάταξεν τὸ χῶμα τῆς γῆς, καὶ ἐγένοντο οἱ σκνῖφες ἔν τε τοῖς
ἀνθρώποις καὶ ἐν τοῖς τετράποσιν, καὶ ἐν παντὶ χώματι τῆς γῆς
14 ἐγένοντο οἱ σκνῖφες ἐν πάσῃ γῇ Αἰγύπτου. 14ἐποιήσαν δὲ ὡσαύ-
τως καὶ οἱ ἐπαοιδοὶ ταῖς φαρμακείαις αὐτῶν ἐξαγαγεῖν τὸν σκνῖ-
φα καὶ οὐκ ἠδύναντο. καὶ ἐγένοντο οἱ σκνῖφες ἐν τοῖς ἀνθρώποις
15 καὶ ἐν τοῖς τετράποσιν. 15εἶπαν οὖν οἱ ἐπαοιδοὶ τῷ Φαραω Δά-
κτυλος θεοῦ ἐστιν τοῦτο. καὶ ἐσκληρύνθη ἡ καρδία Φαραω, καὶ οὐκ
εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησεν κύριος.
16 16Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Ὄρθρισον τὸ πρωὶ καὶ στῆθι
ἐναντίον Φαραω· καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται ἐπὶ τὸ ὕδωρ, καὶ
ἐρεῖς πρὸς αὐτόν Τάδε λέγει κύριος Ἐξαπόστειλον τὸν λαόν μου,
17 ἵνα μοι λατρεύσωσιν ἐν τῇ ἐρήμῳ· 17ἐὰν δὲ μὴ βούλῃ ἐξαποστεῖ-
λαι τὸν λαόν μου, ἰδοὺ ἐγὼ ἐπαποστέλλω ἐπὶ σὲ καὶ ἐπὶ τοὺς
θεράποντάς σου καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τοὺς οἴκους ὑμῶν
κυνόμυιαν, καὶ πλησθήσονται αἱ οἰκίαι τῶν Αἰγυπτίων τῆς κυνο-
18 μυίης καὶ εἰς τὴν γῆν, ἐφ᾽ ἧς εἰσιν ἐπ᾽ αὐτῆς. 18καὶ παραδοξάσω
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὴν γῆν Γεσεμ, ἐφ᾽ ἧς ὁ λαός μου ἔπεστιν
ἐπ᾽ αὐτῆς, ἐφ᾽ ἧς οὐκ ἔσται ἐκεῖ ἡ κυνόμυια, ἵνα εἰδῇς ὅτι ἐγώ
19 εἰμι κύριος ὁ κύριος πάσης τῆς γῆς. 19καὶ δώσω διαστολὴν ἀνὰ
μέσον τοῦ ἐμοῦ λαοῦ καὶ ἀνὰ μέσον τοῦ σοῦ λαοῦ· ἐν δὲ τῇ
20 αὔριον ἔσται τὸ σημεῖον τοῦτο ἐπὶ τῆς γῆς. 20ἐποίησεν δὲ κύριος
οὕτως, καὶ παρεγένετο ἡ κυνόμυια πλῆθος εἰς τοὺς οἴκους Φαραω
καὶ εἰς τοὺς οἴκους τῶν θεραπόντων αὐτοῦ καὶ εἰς πᾶσαν τὴν
21 γῆν Αἰγύπτου, καὶ ἐξωλεθρεύθη ἡ γῆ ἀπὸ τῆς κυνομυίης. 21ἐκά-
λεσεν δὲ Φαραω Μωυσῆν καὶ Ααρων λέγων Ἐλθόντες θύσατε τῷ
22 θεῷ ὑμῶν ἐν τῇ γῇ. 22καὶ εἶπεν Μωυσῆς Οὐ δυνατὸν γενέσθαι
οὕτως· τὰ γὰρ βδελύγματα τῶν Αἰγυπτίων θύσομεν κυρίῳ τῷ
θεῷ ἡμῶν· ἐὰν γὰρ θύσωμεν τὰ βδελύγματα τῶν Αἰγυπτίων ἐναν-

13 τε > B | εν παση γη αιγ. > B* || 14 fin.] + και εν παντι χωματι της γης εγενοντο οι σκνιπες Bc: ex 13 || 16 και 2° > A | λατρευσωσιν] -ευση A || 17 επαποστελλω] εξαποστ. A || 18 ης 2°] η A | ειμι > A | κυριος ult. B†] θεος A || 19 το σημειον > B || 20 την > A || 21 τω θεω] pr. κυριω A



τίον αὐτῶν, λιθοβοληθησόμεθα. 23ὁδὸν τριῶν ἡμερῶν πορευσόμεθα 23
εἰς τὴν ἔρημον καὶ θύσομεν κυρίῳ τῷ θεῷ ἡμῶν, καθάπερ εἶπεν ἡμῖν.
24καὶ εἶπεν Φαραω Ἐγὼ ἀποστέλλω ὑμᾶς, καὶ θύσατε κυρίῳ τῷ 24
θεῷ ὑμῶν ἐν τῇ ἐρήμῳ, ἀλλ᾽ οὐ μακρὰν ἀποτενεῖτε πορευθῆναι·
εὔξασθε οὖν περὶ ἐμοῦ πρὸς κύριον. 25εἶπεν δὲ Μωυσῆς Ὅδε ἐγὼ 25
ἐξελεύσομαι ἀπὸ σοῦ καὶ εὔξομαι πρὸς τὸν θεόν, καὶ ἀπελεύσεται
ἡ κυνόμυια ἀπὸ σοῦ καὶ ἀπὸ τῶν θεραπόντων σου καὶ τοῦ λαοῦ
σου αὔριον· μὴ προσθῇς ἔτι, Φαραω, ἐξαπατῆσαι τοῦ μὴ ἐξαπο-
στεῖλαι τὸν λαὸν θῦσαι κυρίῳ. 26ἐξῆλθεν δὲ Μωυσῆς ἀπὸ Φαραω 26
καὶ ηὔξατο πρὸς τὸν θεόν· 27ἐποίησεν δὲ κύριος καθάπερ εἶπεν 27
Μωυσῆς, καὶ περιεῖλεν τὴν κυνόμυιαν ἀπὸ Φαραω καὶ τῶν θερα-
πόντων αὐτοῦ καὶ τοῦ λαοῦ αὐτοῦ, καὶ οὐ κατελείφθη οὐδεμία.
28καὶ ἐβάρυνεν Φαραω τὴν καρδίαν αὐτοῦ καὶ ἐπὶ τοῦ καιροῦ τού- 28
του καὶ οὐκ ἠθέλησεν ἐξαποστεῖλαι τὸν λαόν.
1Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Εἴσελθε πρὸς Φαραω καὶ ἐρεῖς 9
αὐτῷ Τάδε λέγει κύριος ὁ θεὸς τῶν Εβραίων Ἐξαπόστειλον τὸν
λαόν μου, ἵνα μοι λατρεύσωσιν· 2εἰ μὲν οὖν μὴ βούλει ἐξαποστεῖ- 2
λαι τὸν λαόν μου, ἀλλ᾽ ἔτι ἐγκρατεῖς αὐτοῦ, 3ἰδοὺ χεὶρ κυρίου 3
ἐπέσται ἐν τοῖς κτήνεσίν σου τοῖς ἐν τοῖς πεδίοις, ἔν τε τοῖς ἵπ-
ποις καὶ ἐν τοῖς ὑποζυγίοις καὶ ταῖς καμήλοις καὶ βουσὶν καὶ προ-
βάτοις, θάνατος μέγας σφόδρα. 4καὶ παραδοξάσω ἐγὼ ἐν τῷ και- 4
ρῷ ἐκείνῳ ἀνὰ μέσον τῶν κτηνῶν τῶν Αἰγυπτίων καὶ ἀνὰ μέσον
τῶν κτηνῶν τῶν υἱῶν Ισραηλ· οὐ τελευτήσει ἀπὸ πάντων τῶν
τοῦ Ισραηλ υἱῶν ῥητόν. 5καὶ ἔδωκεν ὁ θεὸς ὅρον λέγων Ἐν τῇ 5
αὔριον ποιήσει κύριος τὸ ῥῆμα τοῦτο ἐπὶ τῆς γῆς. 6καὶ ἐποίησεν 6
κύριος τὸ ῥῆμα τοῦτο τῇ ἐπαύριον, καὶ ἐτελεύτησεν πάντα τὰ
κτήνη τῶν Αἰγυπτίων, ἀπὸ δὲ τῶν κτηνῶν τῶν υἱῶν Ισραηλ οὐκ
ἐτελεύτησεν οὐδέν. 7ἰδὼν δὲ Φαραω ὅτι οὐκ ἐτελεύτησεν ἀπὸ πάν- 7
των τῶν κτηνῶν τῶν υἱῶν Ισραηλ οὐδέν, ἐβαρύνθη ἡ καρδία Φα-
ραω, καὶ οὐκ ἐξαπέστειλεν τὸν λαόν.
8Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν καὶ Ααρων λέγων Λάβετε ὑμεῖς 8
πλήρεις τὰς χεῖρας αἰθάλης καμιναίας, καὶ πασάτω Μωυσῆς εἰς τὸν
οὐρανὸν ἐναντίον Φαραω καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ,
9καὶ γενηθήτω κονιορτὸς ἐπὶ πᾶσαν τὴν γῆν Αἰγύπτου, καὶ ἔσται 9
ἐπὶ τοὺς ἀνθρώπους καὶ ἐπὶ τὰ τετράποδα ἕλκη, φλυκτίδες ἀνα-
ζέουσαι, ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσιν καὶ ἐν πάσῃ

23 κυριω > B† | ειπεν] + κυριος B || 24 εξαποστελλω A | θυσατε] -σεται (pro -τε) A | κυριω > B† || 25 η κυν. / απο σου] tr. B† | του 1°] pr. απο As | εξαπατησαι] εξ > A || 27 των et του] pr. απο A
9 1 μοι λατρευσ.] tr. A || 2 αλλ] και A || 3 επεσται] επ > A | ταις(A τοις) καμ.] pr. εν A || 4 εν — εκεινω > A* | των υιων] του A | ου] pr. και A | του ισρ. υιων] κτηνων των υιων ισρ. A || 8 υμεις] υμιν A | καμιναιας Ac: item Ar in 10 || 9 την > A | εν ult. > B†

10 γῇ Αἰγύπτου. 10καὶ ἔλαβεν τὴν αἰθάλην τῆς καμιναίας ἐναντίον
Φαραω καὶ ἔπασεν αὐτὴν Μωυσῆς εἰς τὸν οὐρανόν, καὶ ἐγένετο
ἕλκη, φλυκτίδες ἀναζέουσαι, ἐν τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετρά-
11 ποσιν. 11καὶ οὐκ ἠδύναντο οἱ φαρμακοὶ στῆναι ἐναντίον Μωυσῆ
διὰ τὰ ἕλκη· ἐγένετο γὰρ τὰ ἕλκη ἐν τοῖς φαρμακοῖς καὶ ἐν πά-
12 σῃ γῇ Αἰγύπτου. 12ἐσκλήρυνεν δὲ κύριος τὴν καρδίαν Φαραω,
καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθὰ συνέταξεν κύριος.
13 13Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Ὄρθρισον τὸ πρωὶ καὶ στῆθι
ἐναντίον Φαραω καὶ ἐρεῖς πρὸς αὐτόν Τάδε λέγει κύριος ὁ θεὸς
τῶν Εβραίων Ἐξαπόστειλον τὸν λαόν μου, ἵνα λατρεύσωσίν μοι.
14 14ἐν τῷ γὰρ νῦν καιρῷ ἐγὼ ἐξαποστέλλω πάντα τὰ συναντήματά
μου εἰς τὴν καρδίαν σου καὶ τῶν θεραπόντων σου καὶ τοῦ λαοῦ
15 σου, ἵν' εἰδῇς ὅτι οὐκ ἔστιν ὡς ἐγὼ ἄλλος ἐν πάσῃ τῇ γῇ. 15νῦν
γὰρ ἀποστείλας τὴν χεῖρα πατάξω σε καὶ τὸν λαόν σου θανάτῳ,
16 καὶ ἐκτριβήσῃ ἀπὸ τῆς γῆς· 16καὶ ἕνεκεν τούτου διετηρήθης, ἵνα
ἐνδείξωμαι ἐν σοὶ τὴν ἰσχύν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά
17 μου ἐν πάσῃ τῇ γῇ. 17ἔτι οὖν σὺ ἐμποιῇ τοῦ λαοῦ μου τοῦ μὴ
18 ἐξαποστεῖλαι αὐτούς. 18ἰδοὺ ἐγὼ ὕω ταύτην τὴν ὥραν αὔριον
χάλαζαν πολλὴν σφόδρα, ἥτις τοιαύτη οὐ γέγονεν ἐν Αἰγύπτῳ
19 ἀφ' ἧς ἡμέρας ἔκτισται ἕως τῆς ἡμέρας ταύτης. 19νῦν οὖν κατά-
σπευσον συναγαγεῖν τὰ κτήνη σου καὶ ὅσα σοί ἐστιν ἐν τῷ πε-
δίῳ· πάντες γὰρ οἱ ἄνθρωποι καὶ τὰ κτήνη, ὅσα ἂν εὑρεθῇ ἐν τῷ
πεδίῳ καὶ μὴ εἰσέλθῃ εἰς οἰκίαν, πέσῃ δὲ ἐπ' αὐτὰ ἡ χάλαζα, τε-
20 λευτήσει. 20ὁ φοβούμενος τὸ ῥῆμα κυρίου τῶν θεραπόντων Φα-
21 ραω συνήγαγεν τὰ κτήνη αὐτοῦ εἰς τοὺς οἴκους· 21ὃς δὲ μὴ προσ-
έσχεν τῇ διανοίᾳ εἰς τὸ ῥῆμα κυρίου, ἀφῆκεν τὰ κτήνη ἐν τοῖς
22 πεδίοις. — 22εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Ἔκτεινον τὴν χεῖρά
σου εἰς τὸν οὐρανόν, καὶ ἔσται χάλαζα ἐπὶ πᾶσαν γῆν Αἰγύπτου,
ἐπί τε τοὺς ἀνθρώπους καὶ τὰ κτήνη καὶ ἐπὶ πᾶσαν βοτάνην τὴν
23 ἐπὶ τῆς γῆς. 23ἐξέτεινεν δὲ Μωυσῆς τὴν χεῖρα εἰς τὸν οὐρανόν,
καὶ κύριος ἔδωκεν φωνὰς καὶ χάλαζαν, καὶ διέτρεχεν τὸ πῦρ ἐπὶ
τῆς γῆς, καὶ ἔβρεξεν κύριος χάλαζαν ἐπὶ πᾶσαν γῆν Αἰγύπτου.
24 24ἦν δὲ ἡ χάλαζα καὶ τὸ πῦρ φλογίζον ἐν τῇ χαλάζῃ· ἡ δὲ χάλαζα
πολλὴ σφόδρα σφόδρα, ἥτις τοιαύτη οὐ γέγονεν ἐν Αἰγύπτῳ ἀφ'
25 οὗ γεγένηται ἐπ' αὐτῆς ἔθνος. 25ἐπάταξεν δὲ ἡ χάλαζα ἐν πάσῃ
γῇ Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ πᾶσαν βοτάνην τὴν

10 ελαβον A || 12 fin.] + τω μωυση Aʳ || 14 αλλος > A || 15 χειρα] + μου A | θανατω M] -τωσω BAʳ || 16 ισχυν] δυναμιν A: cf. Rom. 9 17 || 17 συ εμποιη] tr. A† || 19 και 1° > A† | εστιν] εισιν A† | αν ευρεθη] σοι εστιν B† | επ αυτα / η χαλ.] tr. A || 21 τω πεδιω A || 24 σφοδρα 2°] > B, in O sub ÷ | τοιαυτη / ου γεγονεν] tr. A | αφ ου] αφ ης ημερας B† || 25 αιγυπτω A | απο] pr. παντα οσα ην εν τω πεδιω Bᶜ (in O sub ※)



ἐν τῷ πεδίῳ ἐπάταξεν ἡ χάλαζα, καὶ πάντα τὰ ξύλα τὰ ἐν τοῖς
πεδίοις συνέτριψεν ἡ χάλαζα· 26πλὴν ἐν γῇ Γεσεμ, οὗ ἦσαν οἱ 26
υἱοὶ Ισραηλ, οὐκ ἐγένετο ἡ χάλαζα. 27ἀποστείλας δὲ Φαραω ἐκά- 27
λεσεν Μωυσῆν καὶ Ααρων καὶ εἶπεν αὐτοῖς Ἡμάρτηκα τὸ νῦν· ὁ
κύριος δίκαιος, ἐγὼ δὲ καὶ ὁ λαός μου ἀσεβεῖς. 28εὔξασθε οὖν 28
περὶ ἐμοῦ πρὸς κύριον, καὶ παυσάσθω τοῦ γενηθῆναι φωνὰς θεοῦ
καὶ χάλαζαν καὶ πῦρ· καὶ ἐξαποστελῶ ὑμᾶς, καὶ οὐκέτι προσθή-
σεσθε μένειν. 29εἶπεν δὲ αὐτῷ Μωυσῆς Ὡς ἂν ἐξέλθω τὴν πόλιν, 29
ἐκπετάσω τὰς χεῖράς μου πρὸς κύριον, καὶ αἱ φωναὶ παύσονται,
καὶ ἡ χάλαζα καὶ ὁ ὑετὸς οὐκ ἔσται ἔτι· ἵνα γνῷς ὅτι τοῦ κυρίου
ἡ γῆ. 30καὶ σὺ καὶ οἱ θεράποντές σου ἐπίσταμαι ὅτι οὐδέπω πεφό- 30
βησθε τὸν κύριον. 31τὸ δὲ λίνον καὶ ἡ κριθὴ ἐπλήγη· ἡ γὰρ κριθὴ 31
παρεστηκυῖα, τὸ δὲ λίνον σπερματίζον. 32ὁ δὲ πυρὸς καὶ ἡ ὀλύρα 32
οὐκ ἐπλήγη· ὄψιμα γὰρ ἦν. 33ἐξῆλθεν δὲ Μωυσῆς ἀπὸ Φαραω 33
ἐκτὸς τῆς πόλεως καὶ ἐξεπέτασεν τὰς χεῖρας πρὸς κύριον, καὶ αἱ
φωναὶ ἐπαύσαντο καὶ ἡ χάλαζα, καὶ ὁ ὑετὸς οὐκ ἔσταξεν ἔτι ἐπὶ
τὴν γῆν. 34ἰδὼν δὲ Φαραω ὅτι πέπαυται ὁ ὑετὸς καὶ ἡ χάλαζα 34
καὶ αἱ φωναί, προσέθετο τοῦ ἁμαρτάνειν καὶ ἐβάρυνεν αὐτοῦ τὴν
καρδίαν καὶ τῶν θεραπόντων αὐτοῦ. 35καὶ ἐσκληρύνθη ἡ καρδία 35
Φαραω, καὶ οὐκ ἐξαπέστειλεν τοὺς υἱοὺς Ισραηλ, καθάπερ ἐλάλησεν
κύριος τῷ Μωυσῇ.
1Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν λέγων Εἴσελθε πρὸς Φαραω· 10
ἐγὼ γὰρ ἐσκλήρυνα αὐτοῦ τὴν καρδίαν καὶ τῶν θεραπόντων αὐ-
τοῦ, ἵνα ἑξῆς ἐπέλθῃ τὰ σημεῖα ταῦτα ἐπ' αὐτούς· 2ὅπως διηγή- 2
σησθε εἰς τὰ ὦτα τῶν τέκνων ὑμῶν καὶ τοῖς τέκνοις τῶν τέκνων
ὑμῶν ὅσα ἐμπέπαιχα τοῖς Αἰγυπτίοις, καὶ τὰ σημεῖά μου, ἃ ἐποίη-
σα ἐν αὐτοῖς, καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος. 3εἰσῆλθεν δὲ Μωυ- 3
σῆς καὶ Ααρων ἐναντίον Φαραω καὶ εἶπαν αὐτῷ Τάδε λέγει κύριος
ὁ θεὸς τῶν Εβραίων Ἕως τίνος οὐ βούλει ἐντραπῆναί με; ἐξαπό-
στειλον τὸν λαόν μου, ἵνα λατρεύσωσίν μοι. 4ἐὰν δὲ μὴ θέλῃς σὺ 4
ἐξαποστεῖλαι τὸν λαόν μου, ἰδοὺ ἐγὼ ἐπάγω ταύτην τὴν ὥραν
αὔριον ἀκρίδα πολλὴν ἐπὶ πάντα τὰ ὅριά σου, 5καὶ καλύψει τὴν 5
ὄψιν τῆς γῆς, καὶ οὐ δυνήσῃ κατιδεῖν τὴν γῆν, καὶ κατέδεται πᾶν
τὸ περισσὸν τῆς γῆς τὸ καταλειφθέν, ὃ κατέλιπεν ὑμῖν ἡ χάλαζα,
καὶ κατέδεται πᾶν ξύλον τὸ φυόμενον ὑμῖν ἐπὶ τῆς γῆς· 6καὶ πλη- 6

25 η χαλαζα ult. > A* || 28 περι εμου > A | και πυρ] > A*†, in O sub ÷ | προστεθησεσθε B || 29 προς κυριον M] προς τον θεον εις τον ουρανον A†, > B† || 30 κυριον] θεον B (O κυριον ※ θεον) || 31 το δε 2°] και το A || 32 επληγησαν B† || 33 εξεπετασεν] εξετεινεν B† | χειρας] + αυτου A | εσταξαν A | ετι] ουκετι B† || 34 αυτου / την καρδ.] tr. A || 35 τω > A
10 1 εσκληρ.] εβαρυνα A | αυτου / την καρδ.] tr. A | σημεια] + μου A || 2 α] οσα A† | εγω] + ειμι A || 4 συ > A || 5 της γης 2° > A | ξυλον] pr. το A